ΑΓ. Ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.
ΕΚ. Ὄλωλα κοὐδὲν λοιπόν, Ἀγάμεμνον, κακῶν.
ΑΓ. Φεῦ φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ΕΚ. Οὐκ ἔστιν, εἰ μὴ τὴν Τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὧνπερ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ
ἄκουσον. Εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
τιμωρὸς ἀνδρός, ἀνοσιωτάτου ξένου,
ὃς οὔτε τοὺς γῆς νέρθεν οὔτε τοὺς ἄνω
δείσας δέδρακεν ἔργον ἀνοσιώτατον·
κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοί
ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων,
τυχὼν δ' ὅσων δεῖ καὶ λαβὼν προμηθίαν
ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
Ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·
ἀλλ' οἱ θεοὶ σθένουσι χὠ κείνων κρατῶν
Νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα
καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι·
ὃς ἐς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,
καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
κτείνουσιν ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος αἰδέσθητί με·
οἴκτιρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς
ἰδοῦ με κἀνάθρησον οἷ' ἔχω κακά.
Τύραννος ἦ ποτ', ἀλλὰ νῦν δούλη σέθεν,

784 κακὸν L (-ῶν in ras. A[1]) || 785 οὕτω BLP : -τως MA || ἔφυ M[1] (uel M[2]) B *l* P : -φη MAL || 786 λέγοις MBA et primit. L : -γεις LP Eustath. *in Il.* p. 651 || 789 μου M || 791 ἔνερθεν primit. M || 794 φί-λων MLP : ξέν- BA || 795 δ' om. M add. M[2] || ὅσων B[2]ALP : -σον MB || 796 εἰ in ras. M[2] || 802 εἰ : ἢ M (corr. M[2]) || 805 ἴσων primit. L || 807 βραβεὺς M ut uidet. (corr. M[2]) || 809 τύραννος ἦ : δέσποινα γάρ L (corr. *l*) || ἦ Weil : ἦν.